μοῖς περισφίγγεται, αὐτὸς δ᾽ἐκτός ἐστι τούτων καὶ ἐλευθερίως πανταχοῦ περίεισι, μήτε τοῦ σώματος χωριζόμενος μήτε τῆς οἰκίας μακρὰν γινόμενος, ἀλλ᾽ οἱονεὶ καὶ σύνεστι τούτοις κεχωρισμένος καὶ κεχώρισται ἡνωμένος αὐτοῖς, οὕτω καὶ ὁ θεὸς πανταχοῦ καὶ ἐν πᾶσιν ἐστιν καὶ ἔξω πάντων· καὶ οὐδαμοῦ τῇ φύσει καὶ τῇ οὐσίᾳ καὶ τῇ δόξῃ ἐστίν· ἀπερίγραπτος γάρ.

ε′ Ἐρ. — Ὁ οὖν ἀπερίγραπτος πῶς τὰ πάντα πληροῖ; ὁ δὲ τὰ πάντα πληρῶν πῶς ἀπερίγραπτος καὶ οὐδαμοῦ ἐστιν;

Ἀπ. — Ἔστι μὲν οὖν ὁμολογουμένως πανταχοῦ ὁ Θεὸς καὶ τὰ πάντα πληροῖ, οὐ συγκεκραμένος δὲ ὅλως τοῖς ὁρωμένοις ἀλλὰ κεχωρισμένος τῷ τρόπῳ ᾧπερ εἰρήκαμεν· οὐδαμοῦ δέ ἐστι τὸ καθ᾽ ἡμᾶς· οὐδεὶς γὰρ οἶδεν, οὐδὲ οἱ ἄγγελοι, ποῦ ἐστιν ὁ Θεός· εἰ γὰρ ἀκούεις παρεστάναι, ἀλλὰ τῷ θρόνῳ τῆς δόξης· καὶ πρὸς τὴν ἐκπεμπομένην λαμπρότητα ἀντιβλέπειν μὴ ἐξισχύοντες, φόβῳ τὰ ἑαυτῶν κατακαλύπτουσι πρόσωπα, καὶ ἐκθαμβούμενοι τὸν θεῖον ὕμνον ἀσιγήτως ἀεὶ ἀναπέμπουσι· τῷ γὰρ ἀστέκτῳ τῆς δόξης καταπληττόμενοι, οὐδὲ ἐν περινοίᾳ γενέσθαι ἢ ἐννοῆσαι δύνανται ποῦ ὁ δεσπότης ἢ ὁποῖος αὐτὸς ἐκεῖνός ἐστιν· εἰ γὰρ πρὸς τὴν ἀπαστράπτουσαν αἴγλην ἀντοφθαλμεῖν οὐκ ἰσχύουσι, πῶς ἄρα πορρωτέρω περιεργάσασθαι δύναιντ᾽ ἄν; Ὅτι μὲν οὖν ἔστιν ὁ Θεὸς καὶ πανταχοῦ ἐστι καὶ τὰ πάντα πληροῖ, καὶ οἱ ἄγγελοι καὶ οἱ καθάραντες ἑαυτοὺς ἅγιοι ἐλλαμφθέντες καὶ φωτισθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος ἴσασι· τὸ δὲ ποῦ ἢ πῶς ἢ ὁποῖός ἐστιν, οὐδεὶς τῶν ἁπάντων γινώσκει, εἰ μὴ ὁ πατὴρ τὸν υἱὸν καὶ ὁ υἱὸς τὸν πατέρα καὶ τὸ πνεῦμα τὸ ἅγιον τὸν πατέρα καὶ τὸν υἱόν, ὡς συναΐδιον τούτοις καὶ ὁμοούσιον· ταῦτα γὰρ τὰ τρία, ὡς ἓν ὄντα, καὶ γινώσκουσιν ἑαυτὰ καὶ γινώσκονται ὑπ᾽ ἀλλήλων· ὡς αὐτὸς εἶπεν ὁ φύσει θεὸς καὶ υἱὸς τοῦ Θεοῦ, οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417108427/106 UNIVERSITÄT LEIPZIG